σεαυτὸν Θεὸν» 1), τί ἂν τῶν ἀτόπων παρῆλθον, τί δ' οὐκ ἐτόλμων, τίνα δὲ διδασκαλίαν ἢ νομοθεσίαν ὑπέμειναν παραδέξασθαι, εἰ Πνεῦμα ἅγιον, ἢ πατέρα τοῦ Θεοῦ ὁ τὴν σωτηρίαν τοῦ γένους πραγματευόμενος ἑαυτὸν ἀνωμολόγει; Οὐκοῦν δι' οὗ μᾶλλον συνηπίστατο τὴν σωτηρίαν ἡμᾶς κερδαίνειν, δι' ἐκείνου καὶ τὴν σάρκωσιν καὶ τὴν ἀνάκλησιν ἡμῶν ἡ φιλάνθρωπος καὶ παναγία Τριὰς ἐμεθόδευσεν. Ἄλλως τε δέ, τοὺς εἰς ἀλογίαν ἀπονεύσαντας καὶ παραπεπτωκότας, οἰκειότερον ἦν διὰ τοῦ Λόγου τῆς ἀλογίας ἀπαλλαγῆναι· διὰ τοῦτο γὰρ οἰκονομεῖται καὶ τῇ τῶν ἀλόγων ἀνακλιθῆναι φάτνῃ ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ μέσον ἀλόγων ἀναπεσεῖν ἐσπαργανωμένος ὁ δημιουργὸς συμπάσης τῆς κτισεως. Ἐννοήσαις δ' ἂν εἰκότως, ὡς ἔδει καὶ τὴν ἀπαράλλακτον καὶ φυσικὴν εἰκόνα τοῦ Πατρός, τοὺς κατ' εἰκόνα μὲν Θεοῦ καὶ χάριτι γεγονότας, παραχαράξαντας δὲ καὶ κατακιβδηλεύσαντας τὸ ὁμοίωμα, διὰ τῆς ἀπαραλλάκτου καὶ φυσικῆς εἰκόνος εἰς τὴν ἀρχαίαν ἐπαναχθῆναι μορφὴν καὶ εὐπρέπειαν. δ'. Σὺ δὲ καὶ τοῦτο λογίζου. Ἐπεὶ κριτὴς ζώντων καὶ νεκρῶν ὁ Υἱός («τὴν γὰρ κρίσιν πᾶσαν δέδωκε, φησί, τῷ Υἱῷ» 2), διὰ τοῦτο τὸν μέλλοντα κρίνειν καὶ δικάζειν τοὺς βεβιωκότας, τοῦτον αὐτὸν καὶ νομοθέτην ἔδει καὶ εἰσηγητὴν ὁρᾶσθαι τῶν πρακτέων, οὐ ῥήμασι πρὸς τὴν μίμησιν παρακαλοῦντα (πολλοῖς γὰρ τοῦτο καὶ ἄλλοις μελέτη καὶ σπούδασμα κατέστη, καὶ ἄλλως δυσκατόρθωτον τῷ πλήθει τοὺς λόγους ἔργῳ περαίνειν), διὰ δὲ τῶν κατὰ τὴν πρᾶξιν ὑποδειγμάτων, ὧν ἄν τις αὐτουργὸς γένοιτο καὶ διδάσκαλος διὰ τοῦ βίου, ὥσπερ τὰς προφάσεις τοῦ παρολισθαίνειν πάσας ἀφαιρῶν ὁ παραινῶν ὁρᾶται, καὶ τὴν μίμησιν εὐχερεστέραν παρέχει. Ἀλλὰ καὶ τὸ φίλτρον, ὃ τοῖς μανθάνουσι καὶ μιμουμένοις διασώζει, μᾶλλον ταύτῃ γινώσκεται ἐπιδεδειγμένος. έ. Ναὶ δὴ καὶ διότι σοφία καὶ εἰκὼν ἔμψυχος καὶ ἀπαράλλακτος τοῦ Πατρὸς ὁ Υἱός, ἔδει τὴν κατ' εἰκόνα μὲν Θεοῦ μεμορφωμένην καὶ ἐξωραϊσθεῖσαν ψυχήν, νόθοις δὲ βαφαῖς καὶ κιβδήλοις χρώμασιν εἰς τὸ τῆς ἁμαρτίας δυσειδές τε καὶ ἄμορφον μεταμορφωθεῖσαν, διὰ τοῦτο τοῦτον ἐχρῆν ταύτην ἀπαλλάξαι τοῦ αἴσχους, καὶ οἷα γραφικὴν ἐπιβαλόντα χεῖρα τῷ διεῤῥυηκότι καὶ λελυμασμένῳ χαρακτῆρι, ἀναμορφῶσαί τε καὶ εἰς τὸ ἀρχαῖον ἀναζωγραφῆσαι κάλλος, καὶ τὴν φιλανθρώπως μὲν διαμορφωθεῖσαν, ἀφρόνως δὲ περιϋβρισθεῖσαν καὶ ἀμαυρωθεῖσαν εἰκόνα, πρὸς ἑαυτόν τε ἐπιστρέψαι, καὶ εἰς τὴν ἀρχαίαν πάλιν εὐγένειαν ἀποκαταστῆσαι. Ἀλλὰ γὰρ εἴγε τὸ Πνεῦμα, ἢ ὁ Πατὴρ ὑπὲρ ἡμῶν, ἀλλ' οὐχ ὁ Υἱὸς ἐσεσάρκωτο, οὐδὲν ἄν, ὅσα γε τῆς ἀνθρωπίνης ἀντιπιπτούσης ἀσθενείας, ἢ τῆς γνώμης εἰς τὸ κακουργεῖν ὑποφερομένης, τῶν εἰς σωτηρίαν αὐτοὺς ἀνακαλουμένων διεπέπρακτο· πῶς γὰρ Ἰουδαίων ἀκοαῖς ἀνεκτὸν ἦν, εἰ σαρκὶ παρὼν ὁ σώσων, ἔλεγεν, ὡς ὁ τῷ Μωσεῖ χρηματίσας ἐν ὄρει Σινᾶ, καὶ Πατὴρ τῶν ὅλων καὶ γινωσκόμενος αὐτοῖς καὶ ἀνακαλούμενος, αὐτὸς οὗτος, ὡς ἄνθρωπος, τοῖς ἀνθρώποις συναναστρέφεται, καὶ αὐτὸς ἐκεῖνος εἴη ὁ πάλαι τὰς πλάκας, αἳ τοὺς θείους θεσμοὺς ἔφερον, δακτύλῳ διαγράψας, καὶ πληγαῖς τὴν Αἴγυπτον ὑπὲρ αὐτῶν μαστίξας, καὶ τὴν ὑγρὰν τῆς θαλάσσης φύσιν πεζοπορεῖν ἀβρόχως αὐτοὺς χαριτώσας, καὶ ὅσα ἄλλα πρὸς ἀναγωγὴν θεοσεβείας τὸ θεῖον αὐτοῖς ἐδημιούργει θαῦμα; πῶς ἂν ταῦτα λέγοντος, ἐπείθοντο; τί δὲ τῶν ἀτόπων πράττειν οὐκ ἂν ἠρεθίζοντο; εἰ γάρ, Υἱὸν λέγοντος ἑαυτὸν τοῦ Σωτῆρος, καίτοι γε καὶ αὐτὸς ὁ ἀχάριστος καὶ ἀγνώμων Ἰσραὴλ πολλάκις υἱὸς ὠνομάζετο, οἱ δὲ καὶ πρὸς ταύτην τὴν φωνὴν ἐπεπήδων, καὶ τῆς ἀληθείας κατεγόγγυζον, καὶ βλασφημίας αἰτίαν περιῆπτον τῷ λέγοντι, εἰς ποῖον ἂν κολοφῶνα κακῶν οὐκ ἀνέδραμον, εἰ Πατέρα ἑαυτὸν ἀνεκήρυττεν ὁ τὴν ἡμετέραν ἀναλαβὼν σάρκα, καὶ σῶσαι παραγεγονὼς τὸ ἀνθρώπινον; Διὰ τοῦτο τοίνυν (ὅσα γε λογισμοῖς ἀνθρωπίνοις λαβεῖν) οὐχ ὁ Πατὴρ ἄνθρωπος γίνεται, ἀλλ' ὅ γε Υἱός, ὡς ἂν μάλιστα εὐπαράδεκτον τοῖς ἀνθρώποις τὸ σωτήριον γένηται κήρυγμα, καὶ τὸ δεσποτικὸν καὶ φιλάνθρωπον ἔργον καὶ πάντα λόγον οἰκτιρμῶν καὶ προνοίας ὑπερβαῖνον, εἰς πέρας ἐξενηνεγμένον εἴη. ς'. Ὡσαύτως δὲ καὶ εἰ τὸ Πνεῦμα τὸ ἅγιον ὑπέστη τὴν σάρκωσιν, ἡ αὐτὴ ἂν ἦν τοῖς Ἰουδαίοις τῆς ἀγνωμοσύνης καὶ ἀπιστίας γινομένη πρόφασις, καὶ τοῦ δυσχεραίνειν καὶ ἀπαυθαδίζεσθαι καταφυγή, δοκοῦσα τὴν διαβολὴν ἀποτρέπεσθαι· εἰ γὰρ καὶ ἀμυδράν τινα τὴν περὶ τοῦ παναγίου Πνεύματος δόξαν ταῖς ἑαυτῶν διανοίαις περιέφερον, ἀλλ' οὖν ὅτι κρεῖττον τῆς ἀνθρωπίνης φύσεως, καὶ κοινὸν οὐδὲν σαρκὶ καὶ πνεύματι, τούς τε τῶν προφητῶν χρησμοὺς ἀκούοντες ἀνεμάνθανον, καὶ θειότητά τινα περὶ αὐτοῦ ἐφαντάζοντο, τοῦτο μέν, «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με» τοῦ Ἡσαΐου καταγγέλλοντος 3), τοῦτο δὲ τοῦ Δαβὶδ «τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ» 4), καὶ «πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος» Μωσέως τὴν κοσμογένειαν ἀναγράφοντος 5), καὶ μυρία ἄλλα· ἐξ ὧν θειοτέραν μὲν ἢ κατὰ ἄνθρωπον τὴν τοῦ Πνεύματος φύσιν ἀνελογίζοντο, εἰ καὶ πρὸς τὴν αὐτοῦ καθαρῶς θεολογίαν οὐκ ἀνήγοντο. Μᾶλλον δὲ οἱ Σαδδουκαῖοι 6) διεγέλων ἂν καὶ διεχλεύαζον τὸ μυστήριον, καὶ χερσὶν ἂν καὶ ὀδοῦσιν, εἴ τις αὐτοῖς ἐδίδου, τὸν ἐπιφανέντα διέσπων τε καὶ διεσπάρασσον, ἅτε μηδ' εἰς ὕπαρξιν ὅλως

1) Ἰωάν. ι, 33. – 2) Ἰωάν. ε, 22. – 3) Ἡσαΐ. ξα. 1. Λουκ. δ. 18 – 4) Ψαλμ. ν, 11. –5) Γενέσ. α, 2. Σημείωσαι ὅτι ἐπὶ τοῦ ἁγίου Πνεύματος ἐνταῦθα τὴν ῥῆσιν ἐκδέχεται ὁ ἱερώτατος Φώτιος κατὰ τὸν Μ. Βασίλειον, ἐν δὲ τοῖς προηγουμένοις ἀπέκλινε μᾶλλον πρὸς τὸν ἱερὸν Θεοδώρητον, ἄλλως ἑρμηνεύοντα τὸ ῥητόν. Βλ. Ζήτημα ΙϚ. σελ. 29—30. – 6) Ἡμετ. διόρθ. ἀντὶ τοῦ οἱ Φαρισαῖοι ΑΡ.

ἐλθεῖν, ὥσπερ μηδ' ἀγγέλων φύσιν, ἀνεχομένοις λέγειν, ἢ λογισμοῖς ἀναδέχεσθαι 1). Ἐπεὶ οὖν ἥ τε τοῦ Πατρὸς καὶ ἡ τοῦ Πνεύματος σάρκωσις τοῖς Ἰουδαίοις παντελῶς ἦν ἀπαράδεκτος, καὶ ἡ σωτηρία τοῦ γένους, ὅπερ ἦν ὁ σκοπὸς καὶ ἡ πρόνοια τοῦ Θείου, καὶ δι' ἣν ἡ κένωσις τοῦ ἀκενώτου πέρας οἷον ἔσχε, σαρκωθέντος τοῦ Υἱοῦ, πολλῷ ἐνέδει τοῦ δέξασθαι, εἰκότως ὁ Υἱὸς καὶ κατὰ πολλὴν ἄλλην σοφίαν, ἄῤῥητόν τε καὶ ἀνθρωπίνοις λογισμοῖς ἀκατάληπτον, εὐδοκίᾳ μὲν τοῦ Πατρός, ἐνεργείᾳ δὲ τοῦ παναγίου Πνεύματος, τὴν ἡμετέραν ἀναλαβὼν σάρκα, τὴν κοινὴν τοῦ γένους σωτηρίαν ἐπραγματεύσατο.

ΡΠΕ'. (ΒΜ. ρπη'.)

Διὰ τί, ὁμοφυοῦς καὶ ἰσοτίμου τῆς Τριάδος κηρυττομένης, ὁ μὲν Πατὴρ λέγεται διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Πνεύματος δημιουργεῖν, οὐκ ἔμπαλιν δέ;

§. ά. Εἰς ἀπορίαν τινές φασιν ἐνίους ὑπάγεσθαι, τίνος χάριν, τῆς ὑπεραγίας Τριάδος ὁμοφυοῦς τε 2) καὶ τὸ ἰσότιμον κεκληρωμένης, καὶ μάλιστά γε τῆς θείας τοῦτο διατρανούσης Γραφῆς, δημιουργὸς μᾶλλον ὁ Υἱὸς ὑπ' αὐτῆς δοξολογεῖται ταύτης καὶ ἀνακηρύσσεται, ἤπερ ὁ Πατήρ; εἰ γὰρ καὶ ὁ Πατὴρ εὑρίσκεται, ἀλλ' ἐπὶ μᾶλλον ὁ Υἱός. Πῶς δὲ πάλιν δι' Υἱοῦ μὲν λέγεται δημιουργεῖν ὁ Πατήρ, οὐκ ἔμπαλιν δέ, οὔτε διὰ τοῦ Πατρὸς ὁ Υἱός, οὐ μὴν ἀλλ' οὐδὲ τὸ Πνεῦμα, οὔτε διὰ τοῦ Πατρὸς οὔτε διὰ τοῦ Υἱοῦ; ἢ διὰ τοῦ Πατρὸς μέν ἐστι καταλαβεῖν, παράδοξον μὲν ἀκοῦσαι, νοῆσαι δὲ οὐ παράδοξον, ὅτι περ ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα εἰ καὶ μὴ δημιουργεῖ, ἀλλ' οὖν ἐφ' ἑτέροις ἔργοις, ἀποστέλλων αὐτόν, ὅμως ἐνεργεῖ 3). Πῶς οὖν οὐκ ἄδοξον τὸ παράδοξον; καὶ τίς ὁ δόξαις ὑπάγων αὐτό; Οὐκ ἄλλος, ἀλλ' αὐτὸς ὁ ἀποστελλόμενος Πατήρ· λέγει γάρ, τῇ προφητικῇ τοῦ Ἡσαΐου 4) χρώμενος φωνῇ· «ἄκουέ μου Ἰακὼβ καὶ Ἰσραήλ, ὃν ἐγὼ καλῶ· ἐγὼ Θεὸς πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστιν· ἐγὼ τῇ χειρί μου ἐθεμελίωσα τὴν γῆν, καὶ τὸ Πνεῦμά μου ἐστερέωσε τὸν οὐρανόν (ὅρα πῶς δημιουργῶν, διὰ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος δημιουργεῖ!)· ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην» 5)· ταῦτα διὰ τοῦ προφήτου εἰπὼν ὁ τῶν ὅλων Θεός, καὶ διὰ τῶν εἰρημένων ἐμφανῆ καταστήσας ἑαυτόν, ὅτι περ ὁ ταῦτα λέγων αὐτός ἐστιν ὁ Πατὴρ (καὶ γὰρ δεξιὰ μὲν αὐτοῦ ὁ Υἱός, Πνεῦμα δὲ αὐτοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Ὢ ῥημάτων κεκρυμμένων, μᾶλλον δὲ διανοίας, οὐκ ἐμφανοῦς μέν, ἐμφανιζομένης δὲ ῥᾳδίως εἰς κατάληψιν!), ἐπάγει, «καὶ νῦν Κύριος ἀπέστειλέ με καὶ τὸ Πνεῦμα αὐτοῦ» 6). Οὐκοῦν τὸ Πνεῦμα, ὥσπερ ὁ Υἱὸς ἐκεῖνο, οὕτω καὶ αὐτὸ ἐξαποστέλλει 7) τὸν Πατέρα· καὶ δὴ καὶ ὁ Υἱός, ὃς νῦν Κύριος εἴρηται, ὡσαύτως ἀποστελλόμενος παρὰ τοῦ Πατρός, νῦν ἀποστέλλει τὸν Πατέρα· εἶπε γάρ, «καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ» 8).

§. β'. Δῆλον οὖν ἐκ τούτων καὶ τοῖς μὴ λίαν ὀξυδερκοῦσιν, ὅτι περ ἡ ἀποστολὴ οὔτε τὸν Υἱὸν εἰς ἐλάττω κατάγει φύσιν καὶ τιμήν, οὐ μὴν 9) ἀλλ' οὐδὲ τὸ Πνεῦμα, ὅπου γε καὶ αὐτὸς ὁ Πατὴρ ἀποστέλλεσθαι λέγεται παρ' ἑκατέρου. Ἀποστέλλει ὁ Πατὴρ τὸ Πνεῦμα, ἀποστέλλει καὶ ὁ Υἱός· ἀποστέλλει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα («Πνεῦμα γὰρ Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με»), ἀποστέλλει καὶ τὸν Πατέρα· οὔκουν ἐλαττοῦται διὰ τῆς ἀποστολῆς τὸ Πνεῦμα. Οὐκ ἀποστέλλει δὲ μόνον, ἀλλὰ καὶ χρίει τὸν Υἱόν· πῶς οὖν ἡ ἀποστολὴ καταβιβάσει τὸ Πνεῦμα, οὐ μόνον αὐτοῦ ταύτην ἀνταποδιδόντος τῷ Υἱῷ, ἀλλὰ καὶ προστιθέντος τῷ χρίσματι; Βαθὺς ὁ λόγος, ἀλλ' εἰς ὅσον ἥκει βάθους, τὰ τῶν αἱρετικῶν ἀποφράττει στόματα. Ἐπισκόπει δὲ καὶ τοῦτο. Ἐπὶ τὸν Υἱὸν μένει 10), ἐγείρει αὐτὸν ἀπὸ τῶν νεκρῶν 11)· ἆρα ταῦτα δευτέραν, ἀλλ' οὐχὶ τὴν πρώτην, ἢ 12) τὸ ἀποστέλλειν τάξιν κατείληφεν; ἀλλ' οὔτε ταῦτα τὸ Πνεῦμα ποιεῖ τοῦ Υἱοῦ ὑπερκείμενον, οὐδ' ἡ ἀποστολὴ καταβιβάζει τῆς ἰσοτιμίας τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἀποστελλόμενον.

§. γ'. Ἀλλὰ τὸ χρίειν, ἐρεῖς, καὶ 13) ἀποστέλλειν, καὶ ἐγείρειν, μετὰ τὴν οἰκονομίαν, μετὰ τὴν σάρκωσιν· εἰ γὰρ καὶ προείρηται, ἀλλὰ χρησμοὶ τὸ μέλλον ἐκήρυττον. Μενοῦν γε, ἐννόει δέ, ὡς καὶ τὸ ἀποστέλλεσθαι τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ, ἡνίκα ἐδίδασκεν ὁ Σωτὴρ ἐκ τοῦ Πατρὸς αὐτὸν ἀπεστάλθαι 14), καὶ μηδὲν ἀφ' ἑαυτοῦ λέγειν, τηνικαῦτα καὶ τὴν ἀποστολὴν οἰκειοῦται τοῦ Πνεύματος, ὅτε αὐτὸς ἀπεστέλλετο, καὶ τὸ ἀποστέλλειν ἀνεδέχετο. Ὁρᾷς, ὡς ταῦτα πάντα οἰκονομίας ἐστίν, ἀλλ' οὐκ αὐθεντείας τὰ ῥήματα; Νόει τὸ τῆς οἰκονομίας, καὶ διάκρινε τὸ

1) Πράξ. κγ, 8. – 2) Οὕτω καὶ ΒΜ. ἀλλ' ἴσ. λείπει τὸ οὔσης. – 3) Ἴσ. διορθωτέον τὴν ἐλλείπουσαν φράσιν οὑτωσί. Ὅτι περ ὅ τε ὁ Υἱὸς ἀποστέλλει τὸ Πνεῦμα, καὶ τὸ Πνεῦμα, εἰ καὶ μὴ δημιουργεῖ, ἀλλ' οὖν ἐφ' ἑτέροις ἔργοις, ἀποστέλλον αὐτὸν ὅμως, ἐνεργεῖ. – 4) Ἡσαΐ. μη, 12. – 5) Ἡσαΐ. με, 12. – 6) Ἡσαΐ. μη, 16. –7) Τὰ ἀπὸ τοῦ ἐξαποστέλλει—ὁ ἀποστελλόμενος λείπουσιν ἐν ΒΜ. – 8) Ἴδε περὶ τῶν αὐτῶν καὶ Ζήτημα ΡΝΘ. – 9) Λείπει τὸ οὐ μὴν ἐν ΒΜ. – 10) Λουκ. δ, 18. – 11) Μαρκ. α, 10. Ῥωμ. η, 10. – 12) Ἴσ. γρ. ἤν. – 13) Λείπει ὁ καὶ ἐν ΒΜ. – 14) Ἰωάν. ιε, 26. ις, 13.